πλαζομένῳ γὰρ ἔδειξεν ὕδωρ εὔκαιρον ἀείσας
κοιλάδος ἐκ δροσερῆς ἀμφιβίῳ στόματι·
φωνὴν δ' ἡγήτειραν ὁδοιπόρος οὐκ ἀπολείπων
⟨ ⟩

## XXII [22B., 19D.]

τὸν Βρομίου Σάτυρον τεχνήσατο δαιδαλέη χείρ
μούνη θεσπεσίως πνεῦμα βαλοῦσα λίθῳ.
εἰμὶ δὲ ταῖς Μούσαισιν ὁμέψιος· ἀντὶ δὲ τοῦ πρὶν
πορφυρέου μέθυος λαρὸν ὕδωρ προχέω.
εὔκηλον δ' ἴθυνε φέρων πόδα, μὴ τάχα κοῦρον
κινήσῃς ἁπαλῷ κώματι θελγόμενον.

## XXIII [23B., 20D.]

εἰμὶ μὲν εὐκεράοιο φίλος θεράπων Διονύσου,
λείβω δ' ἀργυρέων ὕδατα Ναϊάδων·
θέλγω δ' ἱμερόεντα νέον περὶ κώματι παῖδα
⟨ ⟩

## XXIV [28B., 21D.]

τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν·
ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.